# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΤΩΝ ΑΓΙΩΝ ΝΕΟΜΑΡΤΥΡΩΝ

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου.

*Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ᾽ ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:*

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Νεομαρτύρων ὁ ὑπέρτιμος δῆμος, τῆς Ἐκκλησίας τὰ νεόφωτα ἄστρα, τῷ φωτισμῷ τῶν θείων πρεσβειῶν ὑμῶν, πάντας ἡμᾶς ρύσασθε, σκοτασμοῦ ἁμαρτίας, καὶ παθῶν καὶ θλίψεων, καὶ ποικίλων κινδύνων, τοὺς προσιόντας πίστει ἀκλινεῖ, τῇ προστασίᾳ ὑμῶν παμμακάριστοι.

**Δόξα. Ὅμοιον.**

Οἱ καταισχύναντες τῆς Ἄγαρ τὴν πλάνην, Ἀρχιερεῖς καὶ Ἱερεῖς θεοφόροι, καὶ Μονασταὶ καὶ πάντες οἱ ἀθλήσαντες, διαφόροις ἔτεσι, Νεομάρτυρες θεῖοι, ἐκτενῶς πρεσβεύετε, τῷ Σωτῆρι τῶν ὅλων, ἵνα ρυσθῶμεν νόσων χαλεπῶν, καὶ τῶν πταισμάτων, συγχώρησιν λάβωμεν.

### Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

### Ὁ Ν΄ καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς.

### «Βοηθεῖτέ μοι Μάρτυρες νέοι. Γερασίμου».

### Ὠδὴ α΄ Ἦχος πλ. δ΄ Ὑγρὰν διοδεύσας.

Βραβείων τυχόντες ἀθλητικῶν, νέοι Ἀθλοφόροι, ὡς ἀθλήσαντες ἱερῶς, βραβεύειν πρεσβεύσατε Κυρίῳ, ἡμῖν τὸν πλοῦτον τῆς θείας χρηστότητος.

Οἱ νέοι ὁπλῖται τοῦ Ἰησοῦ, οἱ τῆς Ἐκκλησίας, προμαχῶνες νεοπαγεῖς, θεμέθλῳ τῆς πίστεως τῆς θείας, τὰς διανοίας ἡμῶν ἑδραιώσατε.

Ἡλίου τῆς δόξης τοῦ νοητοῦ, νεόφωτα ἄστρα, Νεομάρτυρες θαυμαστοί, γνωστοὶ καὶ ἀνώνυμοι τὸν ζόφον, τῶν παθημάτων ἡμῶν διαλύσατε.

### Θεοτοκίον.

Θεὸν σωματώσασα ὑπὲρ νοῦν, Κεχαριτωμένη, Παντευλόγητε Μαριάμ, ψυχῆς μου θεράπευσον τὸ ἄλγος, καὶ τὰς ὀδύνας τοῦ σώματος ἴασαι.

## Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἐν ὑστέροις τοῖς χρόνοις, περιφανῶς ἤθλησαν, ἔρωτι τῷ σῷ Ζωοδότα, Ἅγιοι Μάρτυρες· ὧν ταῖς δεήσεσιν, ἁγιασμὸν καὶ εἰρήνην, καὶ πταισμάτων ἄφεσιν, δίδου τοῖς δούλοις σου.

Ἱερεῖς θεοφόροι, καὶ Μονασταὶ Ὅσιοι, καὶ πληθὺς πιστῶν μακαρία, οἱ συγκροτήσαντες, Νεομαρτύρων στερρῶν, τὸν πολυάριθμον δῆμον, πάντοτε προΐστασθε, ἡμῶν δεόμεθα.

Τοῦ ἐχθροῦ τὴν μανίαν, τὴν καθ' ἡμῶν σύντριψον, τῶν Νεομαρτύρων ὁ δῆμος, ὁ πολυάριθμος, καὶ ἐξαιτήσασθε, ἡμῖν εἰρήνην θεόθεν, καὶ τὸ θεῖον ἔλεος, ὑμῶν δεήσεσι.

### Θεοτοκίον.

Ἐξ ἀχράντου γαστρός σου, ὁ τοῦ παντὸς αἴτιος, σάρκα προσλαβόμενος Κόρη, ὑπὲρ κατάληψιν, κόσμον διέσωσεν, ἐκ τῆς ἀρχαίας κατάρας· ὃν δυσώπει σώζεσθαι, τοὺς σὲ δοξάζοντας.

Διάσωσον Νεομαρτύρων ὁμήγυρις μακαρία, πάσης βλάβης καὶ πειρασμῶν τε καὶ θλίψεων, τοὺς αἰτουμένους τὴν θείαν ὑμῶν πρεσβείαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ...

### Αἴτησις καὶ τὸ Κάθισμα.

### Ἦχος β'. Πρεσβεία θερμή.

Προστάται ἡμῶν, καὶ φύλακες καὶ ἔφοροι, καὶ πρέσβεις θερμοί, πρὸς Κύριον ὑπάρχοντες, ἐκτενῶς πρεσβεύσατε, τοῦ τυχεῖν ἱλασμοῦ τε καὶ χάριτος, Ἀθλοφόροι Χριστοῦ νεοφανεῖς, τοὺς πόθῳ τοὺς ἄθλους ὑμῶν μέλποντας.

### ᾨδὴ δ'. Εἰσακήκοα Κύριε.

Μαρτυρίου ταῖς χάρισι, νέοι Ἀθλοφόροι λαμπρῶς ἐμπρέποντες, πρὸς ὁδὸν χειραγωγήσατε, θείων μαρτυρίων τὰς ψυχὰς ἡμῶν.

Οἱ κλεινοὶ Νεομάρτυρες, οἱ γνωστοὶ καὶ ἅπαντες οἱ ἀνώνυμοι, συνοχῆς πικρᾶς λυτρώσασθε, τοὺς ἐν τῷ ναῷ ὑμῶν προστρέχοντας.

Ιλασμόν τε καὶ ἄφεσιν, καὶ πάσης ἀνάγκης τὴν ἀπολύτρωσιν, Νεομάρτυρες μακάριοι, παρὰ τοῦ Χριστοῦ ἡμῖν αἰτήσασθε.

**Θεοτοκίον.**

Μαριὰμ θεοχώρητε, ἡ τὸν Θεὸν Λόγον γαστρὶ χωρήσασα, τὴν ψυχήν μου δεῖξον σκήνωμα, ἐννοιῶν ἁγίων βίῳ κρείττονι.

### ᾨδὴ ε'. Φώτισον ἡμᾶς.

Αγιος χορός, Νεομάρτυρες ὠράθητε· διὸ πίστει καὶ ἀγάπῃ ἀληθεῖ, Ὀρθοδόξων τὰ πληρώματα συνάψατε.

Ρῶσιν ψυχικήν, καὶ σωμάτων πᾶσαν ἴασιν, Νεομάρτυρες κομίζονται πιστῶς, οἱ τῇ θείᾳ ἀντιλήψει ὑμῶν σπεύδοντες.

Τοῖς πανευλαβῶς, τῇ Εἰκόνι τῇ σεπτῇ ὑμῶν, παρεστῶσι Νεομάρτυρες Χριστοῦ, γλυκασμὸν τὸν ἐπουράνιον παράσχετε.

**Θεοτοκίον.**

Υψώσας ἡμᾶς, τῆς ἀρχαίας Ἁγνὴ πτώσεως, τὸν πανύψιστον κυήσασα Θεόν· καὶ νῦν ὕψωσον ἡμᾶς πρὸς θεῖον ἔρωτα.

## Ὠδὴ στ΄. Τὴν δέησιν.

Ρωσθέντες, τοῦ Παρακλήτου τῇ ῥώμῃ, κατεβάλετε τῆς πλάνης τὸ κράτος, Νεομαρτύρων πληθὺς μακαρία· καὶ νῦν ἡμᾶς ἐπιρρώσατε Ἅγιοι, καταπατεῖν τοῦ πονηροῦ, τὴν ἰσχὺν τὴν πικρὰν καὶ ὀλέθριον.

Ἐσχάτοις, ἀνδραγαθήσαντες χρόνοις, διαφόρων ἐκ χωρῶν ὡρμημένοι, νεοφανεῖς τοῦ Σωτῆρος ὁπλῖται, κατὰ ποικίλων μεθόδων τοῦ ὄφεως, ὡρυομένου καθ' ἡμῶν, τῶν πιστῶν τὰς καρδίας ὁπλίσατε.

Σωμάτων, ὑπεριδόντες τοὺς πόνους, πρὸς τὴν ἄπονον μετέστητε λῆξιν, Νεομαρτύρων πληθὺς μακαρία, καὶ πάντα πόνον καὶ ἄλγος κουφίζετε, τῶν προσιόντων εὐλαβῶς, τῇ πρεσβείᾳ ὑμῶν καὶ τῇ χάριτι.

### Θεοτοκίον.

Ναμάτων, ζωοποιῶν ψυχοτρόφων, ἀνεξάντλητος καλλίρροος κρήνη, ὡς ἀληθῶς, ἀνεδείχθης Παρθένε, ὑπερφυῶς τὸν Θεὸν σωματώσασα· διὸ διψῶντα χαλεπῶς, πότισόν με ἀρδείαις τῆς χάριτος.

Διάσωσον Νεομαρτύρων ὁμήγυρις μακαρία, πάσης βλάβης καὶ πειρασμῶν τε καὶ θλίψεων, τοὺς αἰτουμένους τὴν θείαν ὑμῶν πρεσβείαν.

Ἄχραντε ἡ διὰ λόγου...

Αἴτησις καὶ τὸ Κοντάκιον.

**Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.**

Νεομαρτύρων χορὸς θεοσύλλεκτος, νεοπαγεῖς Ἐκκλησίας θεμέλιοι, ἀεὶ τὸν Χριστὸν ἱκετεύετε, πειρατηρίων λυτροῦσθαι ἑκάστοτε, τοὺς πίστει ὑμᾶς μακαρίζοντας.

**Προκείμενον.**

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν...

**Εὐαγγέλιον κατὰ Λουκᾶν.**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

**Δόξα. Ταῖς τῶν Ἀθλοφόρων...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Προσόμοιον.**

**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...**

Δῆμε πολυάριθμε, Νεομαρτύρων Ἁγίων, ἱερεῖα ἄμωμα, ἄρνες οἱ νεόθυτοι τοῦ Παντάνακτος, ὡς φωτὸς ἔμπλεοι, τοῦ ἐπουρανίου, σὺν τοῖς πάλαι θείοις Μάρτυσιν, ὡς τούτων σύσκη-

νοι, τῷ ἀγωνοθέτῃ πρεσβεύσατε, πταισμάτων δοῦναι ἄφεσιν, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν, τοῖς ἐν εὐλαβείᾳ, τιμῶσι τὰ παλαίσματα ὑμῶν, δι᾽ ὧν εἰς τέλος καθείλετε, τὸν τοῦ σκότους ἄρχοντα.

**Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

Ἐντολῶν τῶν ἁγίων, διανύειν τὴν τρίβον ἐν φόβῳ κρείττονι, καὶ πράξεσιν ἐνθέοις, εὐαρεστεῖν Κυρίῳ, Νεομάρτυρες Ἅγιοι, σθενώσατε τοὺς πιστούς, ὑμῶν ταῖς προστασίαις.

Οἱ Χριστοῦ στρατιῶται, οἱ ἀρτίως τὴν πλάνην καταπατήσαντες, ὁμόνοιαν εἰρήνην, καὶ βίου εὐπραγίαν, τοῖς πιστοῖς ἐξαιτήσασθε, τοῖς προσιοῦσι θερμῶς, ὑμῶν ταῖς προστασίαις.

Ἱεράρχαι Κυρίου, Μονασταὶ θεοφόροι καὶ εὐσεβῶν ὁ χορός, οἱ ἄθλοις μαρτυρίου, Ἀγαρηνῶν τὴν πλάνην, ἀνδρικῶς καταισχύναντες, τῆς αἰωνίου ἡμᾶς, λυτρώσασθε αἰσχύνης.

**Θεοτοκίον.**

Γεωργὸν τῶν ἁπάντων, καὶ Σωτῆρα τῶν ὅλων Θεὸν καὶ Κύριον, κυήσασα ἀφράστως, δι᾽ ἄκραν εὐσπλαγχνίαν, γεωργεῖν με ἐνίσχυσον, Παρθενομῆτορ Ἁγνή, καρποὺς τῆς μετανοίας.

**Ὠδὴ η΄. Τὸν Βασιλέα.**

Ἐνηθληκότες, κατὰ καιροὺς διαφόρους, Νεομάρτυρες ἐν χρόνοις τῆς δουλείας, τῶν κακουχουμένων, σκεδάσατε τὰς θλίψεις.

Ρείθροις ἀΰλοις, ὑμῶν τῶν θείων χαρίτων, Νεομάρτυρες τοὺς ἄνθρακας τῶν νόσων, σβέσατε ὑψόθεν, ὑμᾶς ἐκδυσωποῦμεν.

Αγίων δήμοις, ἐν τοῖς ὑψίστοις συνόντες, Νεομάρτυρες Χριστοῦ ἠγλαϊσμένοι, σὺν αὐτοῖς τὸν πάντων, Δεσπότην ἱλεοῦσθε.

**Θεοτοκίον.**

Σκέπη ὑπάρχεις, καὶ προστασία γλυκεῖα, Ἀειπάρθενε ἡμῶν τῶν σὲ ὑμνούντων· ὅθεν σου τὴν χάριν, κηρύττομεν εὐσήμως.

**Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.**

Ισχὺν καὶ θεῖον σθένος, ὑμῶν τῇ πρεσβείᾳ, ὦ Νεομάρτυρες πάντες λαμβάνομεν, οἱ τῇ θερμῇ ἀντιλήψει ὑμῶν προστρέχοντες.

Μαρτύρων νέων νέφος, νῦν τὴν Ἐκκλησίαν, ἐπισκιάσει ἀΰλῳ καλύψατε, ἐκ πυριφλέκτων βελέμνων τοῦ πολεμήτορος.

Οἰκοῦντες σὺν Ἀγγέλοις, ἐν ἐπουρανίοις, Νεομαρτύρων χοροὶ θεοδόξαστοι, αἰτεῖσθε πᾶσιν εἰρήνην καὶ ζωὴν κρείττονα.

**Θεοτοκίον.**

Υπέραγνε Μαρία, Κεχαριτωμένη, ἡ τὸν Θεὸν ἀπορρήτως κυήσασα, φθοροποιῶν παθημάτων ἡμᾶς ἀπάλλαξον.

**Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.**

Τῶν Νεομαρτύρων νῦν τὴν πληθύν, ὕμνοις ἐγκωμίων, εὐφημήσωμεν οἱ πιστοί, τοὺς μετὰ τὴν πτῶσιν, πόλεως ἀνασσούσης, γνωστοὺς καὶ ἀνωνύμους, στερρῶς ἀθλήσαντας.

Ἴχνεσιν ἑπόμενοι ἀκλινῶς, τῶν πάλαι Μαρτύρων, ἠγωνίσασθε ἀνδρικῶς, καὶ τῆς εὐσεβείας, κρατύναντες τὴν δόξαν, λαμπρῶς ἐμεγαλύνθητε, νέοι Μάρτυρες.

Νομίμως ἀθλοῦντες ὑπὲρ Χριστοῦ, οἱ μὲν δι' ἀγχόνης, οἱ δὲ ξίφει καὶ τῷ πυρί, καὶ ποικίλοις ἄλλοις, θανατωθέντες τρόποις, Μαρτύρων Ἐκκλησίας, νέοι ὡράθητε.

Τῶν Ἀρχιερέων χαῖρε χορός, καὶ τῶν μοναζόντων, χαῖρε σύστημα ἱερόν, καὶ τῶν εὐσεβούντων, ὁμήγυρις ἡ θεία, οἱ ἄθλοις μαρτυρίου, πάντες ἐκλάμψαντες.

Ὤφθητε ἀστέρες νεοφανεῖς, ἐν ἐσχάτοις χρόνοις, ἐναθλήσαντες ἀνδρικῶς, καὶ τῶν δυσσεβούντων, αἰσχύναντες τὸ κράτος, ἰσχύϊ οὐρανίῳ, ὢ Νεομάρτυρες.

Τῷ Χριστῷ πρεσβεύετε ἐκτενῶς, νέοι Ἀθλοφόροι, ὑπὲρ πάντων τῶν εὐλαβῶς, ὑμᾶς εὐφημούντων , καὶ πίστει προσιόντων, ὑμῶν τῇ προστασίᾳ, ὡς ἡμῶν ἔφοροι.

Πᾶσαι τῶν Ἀγγέλων...

**Τὸ Τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:**

**Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.**

Πάντας τοὺς προστρέχοντας πιστῶς, ὑμῶν τῇ θερμῇ ἀντιλήψει, πάσης λυτρώσασθε, βλάβης τοῦ ἀλάστορος, καὶ χαλεπῶν συμφορῶν, Νεομάρτυρες ἔνδοξοι, πᾶσι χορηγοῦντες, ταῖς ὑμῶν δεήσεσι, χάριν καὶ ἔλεος, ἅμα καὶ εὐστάθειαν βίου, καὶ πταισμάτων λύσιν καὶ πᾶσαν, δόσιν θεοδώρητον δεόμεθα.

Δίστιχον.

Δέξαι νεοσύλλεκτε Μαρτύρων δῆμε
Ἣν σοι Γεράσιμος δέησιν προσφέρει.

